Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: big-ac

*Σιμωνίδης ὁ Κεῖος* · Simonides of Ceos

# Fragments on Genealogy

*Ἀποσπάσματα περὶ Γενεαλογίας*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ποίησις* Poetry
**Format:** *Συναγωγή* Collection

1a,8,F 1 ET. M. p. 479, 47 (TZETZ. Lyk. 355): Ἰτωνὶς καὶ Ἰτωνία ἡ Ἀθηνᾶ εἴρηται παρὰ τοῖς Θεσσαλοῖς, ἀπό τινος πόλεως Ἴτωνος. φησὶ δὲ ὁ γενεαλόγος Σιμωνίδης Ἰτώνου θυγατέρας γενέσθαι δύο, Ἀθηνᾶν καὶ Ἰοδάμαν, ἃς ἐζηλωκυίας τὴν ὁπλομαχικὴν εἰς ἔριν τὴν εἰς ἀλλήλας χωρῆσαι, ἀναιρεθῆναί τε τὴν Ἰοδάμαν ὑπὸ τῆς Ἀθηνᾶς.

1a,8,F 2 SCHOL. APOLL. RHOD. II 866: Ἀγκαίωι ... ὃν Ἰμβρασίοισι παρ’ ὕδασιν Ἀστυπάλαια τίκτε Ποσειδάωνι] ὅτι Ποσειδῶνος καὶ Ἀστυπαλαίας τῆς Φοίνικος ὁ Σάμιος Ἀγκαῖος ἦν παῖς, ὃς ἐκυβέρνα τὴν ναῦν μετὰ τὴν Τίφυος τελευτήν, καὶ Σιμωνίδης ὁ γενεαλόγος ὁμοίως τῶι Ἀπολλωνίωι γενεαλογεῖ.

1a,8,F 3 SCHOL. APOLL. RHOD. I 763: Φρίξος Μινυήιος] Μινυήιος ὁ Ἰώλκιος· τὴν γὰρ Ἰωλκὸν Μινύαι ὤικουν, ὥς φησι Σιμωνίδης ἐν Συμμίκτοις. δύναται δὲ καὶ ἀντὶ τοῦ Ὀρχομένιος· πολλοὶ γάρ φασιν ἐν Ὀρχομενῶι οἰκῆσαι τὸν Ἀθάμαντα.

1a,8,F 5 PLUTARCH. Lykurg. I, 8 (Schol. PLAT. Resp. 599 D): ** ἐπεὶ καὶ Σιμωνίδης ὁ ποιητὴς (F 217 Bgk) οὐκ Εὐνόμου λέγει τὸν Λυκοῦργον πατρός, ἀλλὰ Πρυτάνιδος καὶ τὸν Λυκοῦργον καὶ τὸν Εὔνομον, οἱ πλεῖστοι σχεδὸν οὐχ οὕτω γενεαλογοῦσιν κτλ.

1a,8,F 6 GNOMOL. VAT. GR. 1144 (= Hesiod. T 18d Jac): Σιμωνίδης τὸν Ἡσίοδον κηπουρὸν ἔλεγε, τὸν δὲ Ὅμηρον στεφανηπλόκον, τὸν μὲν ὡς φυτεύσαντα τὰς περὶ θεῶν καὶ ἡρώων μυθολογίας, τὸν δὲ ὡς ἐξ αὐτῶν συμπλέξαντα τὸν Ἰλιάδος καὶ Ὀδυσσείας στέφανον.